31 ἐνωτίζου, Ιωβ, καὶ ἄκουέ μου·
※κώφευσον, καὶ ἐγώ εἰμι λαλήσω.
32 ※εἰ εἰσὶν λόγοι, ἀποκρίθητί μοι·
※λάλησον, θέλω γὰρ δικαιωθῆναί σε.
33 ※εἰ μή, σὺ ἄκουσόν μου·
※κώφευσον, καὶ διδάξω σε σοφίαν.✓

34 1 Ὑπολαβὼν δὲ Ελιους λέγει
2 Ἀκούσατέ μου, σοφοί·
ἐπιστάμενοι, ἐνωτίζεσθε τὸ καλόν·
3 ※ὅτι οὖς λόγους δοκιμάζει,
※καὶ λάρυγξ γεύεται βρῶσιν.
4 ※κρίσιν ἑλώμεθα ἑαυτοῖς,
※γνῶμεν ἀνὰ μέσον ἑαυτῶν ὅ τι καλόν.✓
5 ὅτι εἴρηκεν Ιωβ Δίκαιός εἰμι,
ὁ κύριος ἀπήλλαξέν μου τὸ κρίμα,
6 ἐψεύσατο δὲ τῷ κρίματί μου,
※βίαιον τὸ βέλος μου ἄνευ ἀδικίας,
7 ※τίς ἀνὴρ ὥσπερ Ιωβ
※πίνων μυκτηρισμὸν ὥσπερ ὕδωρ✓
8 οὐχ ἁμαρτὼν οὐδὲ ἀσεβήσας
ἢ ὁδοῦ κοινωνήσας μετὰ ποιούντων τὰ ἄνομα
τοῦ πορευθῆναι μετὰ ἀσεβῶν;
9 μὴ γὰρ εἴπῃς ὅτι Οὐκ ἔσται ἐπισκοπὴ ἀνδρός·
καὶ ἐπισκοπὴ αὐτῷ παρὰ κυρίου.
10 διό, συνετοὶ καρδίας, ἀκούσατέ μου
Μή μοι εἴη ἔναντι κυρίου ἀσεβῆσαι
καὶ ἔναντι παντοκράτορος ταράξαι τὸ δίκαιον·
11 ἀλλὰ ἀποδιδοῖ ἀνθρώπῳ καθὰ ποιεῖ ἕκαστος αὐτῶν,

nem Theodotionis: ιδου παντα ταυτα (A ταυτα παντα: cf. supra $29^1$) εργαται ο ισχυρος οδους τρ(ε)ις μετα ανδρος του επιστρεψαι ψυχην αυτου εκ διαφθορας του φωτισαι αυτω εν φωτι ζωντων; sed omnia, quae 𝔊 praebet, etiam in AV adsunt ‖ $31^1$ ενωτ.] προσεχε AV† | ακουσον AV† | $31^2$ και εγω ειμι (cf. Thack. p. 55)] ινα AV† ‖ $32^1$ εισιν] εστιν B*S, εισι(ν) σοι ABc, εστιν σοι Sc | λογοι] λογος B*, λογοις (sic) S*† | $32^2$ δικαιωθ. σε] tr. AV† ‖ $33^1$ ει] + δε A | $33^2$ σοφιαν > B†

34 $2^2$ το καλον (= 4 fin.)] > BS*O†, sed adest etiam in Sa ‖ $3^1$ ους] νους AV†: cf. 12 11 | λογ. δοκ.] tr. AV† | $3^2$ και λαρ.] λαρ. δε AV†: cf. $10^3$; contrarium uide 3 12 ‖ $4^2$ ο τι] τι A†; το V†: cf. $2^2$ ‖ $6^1$ εψευσ. δε] και εψ. AV†: cf. 3 12 ‖ $8^1$ αμαρτανων S*† | $8^2$ η οδου κοινωνησας Sy Sa et unus cod. gr. et Sw.] η ουδ ου κοιν. BS*†, ουδε κοιν. οδου AV†, ουδ ολως κοιν. rel. (= La *neque omnino*) | ποιουντων] pr. των A ‖ $9^1$ εστιν A | $9^2$ αυτου A ‖ $10^1$ καρδια A | $10^2$ ειη / εν. κυρ.] tr. S† | $10^3$ και εναντι] εναντι δε AV†: cf. $3^2$ ‖ $11^1$ αλλα] + γαρ AV† | αποδοι Bc†, αποδιδωσιν AV† | εποιει S†